Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 119



## ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ

## ΕΛΕΓΧΟΣ ΑΥΤΟΥ ΚΑΙ ΕΞΟΜΟΛΟΓΗΣΙΣ.

ΕΝ πολλοῖς ὑμῖν, ἀδελφοὶ, δοκῶν χρησιμεύειν, ὀφείλω καὶ ἐμαυτῷ εἰς ψυχὴν λυσιτελῆσαι· ἄλογον γὰρ ἄλλοις παρέχοντα τροφὴν, πεῖναν αὐτὸν ὑφίστασθαι· καὶ αἰσχρὸν ἑτέρους ποτίζοντα, δίψῃ με διαφθείρεσθαι. πῶς δὲ ἔστι τοῦτο, εἰ μὴ τὴν ἐμαυτοῦ ἐλέγξω συνείδησιν. Οἶδα γὰρ ὅτι χρήσιμόν μοι γενήσεται εἰς τὸ μέλλον κριτήριον. Ἐπειδὴ ἐν πολλοῖς με ὄντα ὁ ἐχθρὸς παρετάξατο ἐν νεότητι· ἐν γὰρ τῷ μεταξὺ, περὶ τοῦ αὐτόματα εἶναι τὰ ἐν τῷ βίῳ, μικροῦ δεῖν, ἐπληροφόρησέ με ἡ νεότης. Ὥς ὅτε γὰρ ναῦς δίχα οἰάκων ὑπάρχουσα, τὸν κυβερνήτην ἐπὶ τῆς πρώρας παρείστησι, καὶ βαδίζει εἰς τοὐπίσω, ἢ οὔτε βαδίζει, ἔσθ' ὅτε δὲ καὶ περιτρέπεται, εἰ μή τις ἐπισκοπὴ, ἢ δι' ἀγγέλου, ἢ δι' ἀνθρώπου αὐτῇ βοηθήσῃ· τοῦτο δὴ καὶ ἐμοὶ γέγονε· καὶ φερόμενος ἐπὶ κλύδωνος ἀπάτης ἀναισθήτως εἶκον τοῦ ἐπηρτημένου κινδύνου. Τί οὖν ποιεῖ ἡ χρηστότης αὐτοῦ; Ἀποδημοῦντί μοι ἐν τοῖς κλίμασι τῆς ἐνδοτέρας Μεσοποταμίας περιτυχεῖν ἐποίησε ποιμένι προβάτων. Ὁ δέ φησι πρός με, ποῦ πορεύῃ νεανίσκε; Κἀγὼ εἶπον, ὅπου καὶ τύχοιμι. Καὶ λέγει μοι, ἔκδεξαι, ὅτι πρὸς ἑσπέραν ἡ ἡμέρα κέκλικε. Τί γάρ; ὑπακούσας, ἔμεινα παρ' αὐτῷ. καὶ ἐν μέσῃ νυκτὶ λύκοι ἐπελθόντες τὰ πρόβατα διεσπάραξαν, τοῦ ποιμένος ὑπὸ μέθης ἐφυπνώσαντος. ἐπῆλθον δὲ οἱ δεσπόται, κἀμοὶ τὴν αἰτίαν ἐπέγραφον· εἷλκον δέ με καὶ εἰς δικαστήριον· γενόμενος δὲ πρὸς τὸν κριτὴν, ἀπελογούμην, ὡς γέγονε. Καὶ μετ' ἐμὲ, εἰσήχθη τίς ἐν μοιχείᾳ ἁλούς· ἡ δὲ γυνὴ διαφυγοῦσα ἀφανὴς ἐγεγόνει. Καὶ ὁ δικαστὴς ὑπερθέμενος ἀμφοτέρους ἡμᾶς ἐπὶ τὸ αὐτὸ, εἰς φυλακὴν παρέπεμψεν· εὕρομεν δέ τινα γεωργὸν ἐν τῇ εἱρκτῇ περὶ φόνου ἐνεχθέντα· καὶ οὔτε ὁ μετ' ἐμοῦ προσαχθεὶς μοιχὸς ἦν, οὐδ' οὗτος φονεὺς, ὡς οὐδὲ ἐγὼ κλέπτης προβάτων. Ὁ μέντοι νεκρὸς ἐτηρεῖτο διὰ τὸν γεωργόν· καὶ ὁ ποιμὴν δι' ἐμέ· καὶ ὁ ἀνὴρ διὰ τὸν μοιχόν· ἦσαν οὖν καὶ οὗτοι ἐν οἴκῳ ἑτέρῳ φυλαττόμενοι. Ποιήσας δὲ ἐκεῖ ἡμέρας ἑπτὰ, τῇ ὀγδόῃ ὁρῶ τινα καθ' ὕπνους λέγοντά μοι, εὐσέβησον καὶ συνήσεις τὴν πρόνοιαν. Λόγισαι ἃ ἐνενόησας καὶ ἐποίησας, καὶ νοήσεις ἀπὸ σαυ-

## A EJUSDEM SANCTI PATRIS EPHRAEM SYRI

## REPREHENSIO SUI IPSIUS, ET CONFESSIO.

CUm in multis, fratres, prodesse vobis videar, animæ quoque propriæ utiliter consulere debeo. Absurdum quippe est, fame illum confici, qui cibum aliis impertitur;
B turpeque est me siti perire, qui reliquis potum subministro: quod sane fiet, nisi meam ipse conscientiam reprehendero. Novi enim, quantum mihi illud fecisse, in futuro profuturum sit judicio. Nam quando adhuc in sæcularium multitudine versabar, inimicus oppugnavit me in juventute, quæ mihi fere persuaserat, illa quæ in hac accidunt vita, fortuito casuque fieri: contigitque mihi,
C quod navi alicui gubernaculis destitutæ, gubernatore in prora consistente: quippe quæ vel retrocedit, vel non procedit, vel etiam evertitur, nisi aliqua vel per Angelum, vel per hominem visitatione sublevetur. Quod ipsum & in me accidit, qui procellarum errore agitabar, nec pericula imminentia præsentiebam. Quid igitur Divina benignitas? Me in interioris Mesopotamiæ regione peragrantem fecit in pastorem quemdam ovium
D incidere: qui cum ex me, quonam tenderem, percontaretur; egoque, quo me pedes ferrent, respondissem; ad me ille: si me, inquit, audieris, adolescens, huc ad nos diverte: quoniam ad vesperam inclinat jam dies. Quibus ego permotus verbis, remansi apud eum. Media autem nocte lupi gregem adorti, oves dissiparunt, cum interim pastor gravi somno propter ebrietatem correptus jaceret. At domini supervenien-
E tes, me quoque tamquam reum in judicium abripuerunt. Constitutus autem ante judicem, me defendebam, & rem, uti acciderat, enarrabam. Interea vero post me adductus est quidam in adulterio deprehensus: sed mulier se subduxerat. Judex autem re dilata, utrumque nostrum in eumdem carcerem detrudi jussit: in quo agricolam quemdam propter homicidium detentum reperimus. Sed neque qui mecum ducebatur,
F adulter erat; neque hic agricola homicida; sicut neque ego ovium fur atque abactor fueram. Cadaver autem propter agricolam, & pastor propter me, & maritus propter adulterum, in alia servabantur domo atque custodia. Peractis igitur septem illic diebus, aspexi octavo die quemdam per quietem sic me compellantem. Pietatem cole, & divinam providentiam intelliges. Expende tecum quæ cogitaveris ac feceris, & ex te

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0367
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg